*ἐμοὶ δοκεῖ μετὰ πλείστης ἐπιμελείας καὶ δεινότητος οὗτος
ὁ ἀνὴρ ἀνατρέπειν καὶ καταβάλλειν τὴν συνήθειαν, ὡς
ἐνιαχοῦ καὶ αὐτοὶ μαρτυροῦσιν οἱ τὸν ἄνδρα σεμνύνοντες,
ὅταν αὐτῷ περὶ τοῦ ψευδομένου μάχωνται. τὸ γάρ, ὦ
ἄριστε, συμπεπλεγμένον τι δι᾿ ἀντικειμένων μὴ φάναι
E ψεῦδος εὐπόρως εἶναι, λόγους δὲ πάλιν αὖ φάναι τινὰς
ἀληθῆ τὰ λήμματα καὶ τὰς ἀγωγὰς ὑγιεῖς ἔχοντας εἶτα
καὶ τὰ ἀντικείμενα τῶν συμπερασμάτων ἔχειν ἀληθῆ,
ποίαν ἔννοιαν ἀποδείξεως ἢ τίνα πίστεως οὐκ ἀνατρέπει
πρόληψιν; τὸν μέν γε πολύποδά φασι τὰς πλεκτάνας αὑτοῦ
περιβιβρώσκειν ὥρᾳ χειμῶνος, ἡ δὲ Χρυσίππου διαλεκτικὴ
τὰ κυριώτατα μέρη καὶ τὰς ἀρχὰς αὑτῆς ἀναιροῦσα καὶ
περικόπτουσα τίνα τῶν ἄλλων ἐννοιῶν ἀπολέλοιπεν ἀνύπο-
πτον; οὐ γὰρ οἷόν τε δήπου [καὶ] τὰ ἐποικοδομούμενα [μὴ]
βέβαια κεῖσθαι καὶ πάγια, τῶν πρώτων μὴ μενόντων ἀπο-
F ρίας δὲ καὶ ταραχὰς ἐχόντων τηλικαύτας. ἀλλ᾿ ὥσπερ οἱ
πηλὸν ἢ κονιορτὸν ἐπὶ τοῦ σώματος ἔχοντες τὸν ἁπτό-
μενον αὐτῶν καὶ προσαναχρωννύμενον οὐ κινεῖν ἀλλὰ προσ-
βάλλειν τὸ τραχῦνον δοκοῦσιν, οὕτως ἐκεῖνοι τοὺς Ἀκαδη-
μαϊκοὺς αἰτιῶνται καὶ νομίζουσι τὰς αἰτίας παρέχειν ὧν
ἀναπεπλησμένους ἀποδεικνύουσιν αὑτούς· ἐπεὶ τάς γε κοι-
1060 νὰς ἐννοίας τίνες μᾶλλον διαστρέφουσιν; | εἰ δὲ βούλει, τὸ
κατηγορεῖν ἐκείνων ἀφέντες, ὑπὲρ ὧν ἐγκαλοῦσιν ἡμῖν
ἀπολογησώμεθα.*

3. *ΕΤΑΙΡΟΣ. Ἐγώ μοι δοκῶ τήμερον, ὦ Διαδούμενε,
ποικίλος τις ἄνθρωπος γεγονέναι καὶ παντοδαπός· ἄρτι*